UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Theophronio. 180.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Θεοφρονίῳ. ρπ.

Οὐ ῥημάτων ἀπαγγελία, ἀλλὰ πραγμάτων διακονία τὸν τῆς θείας παιδεύσεως ζηλωτὴν ἀποφαίνει. οὐδὲ γὰρ ὁ ἀρχαῖος ἀντάρτης, ἐπειδὴ τῶν θείων χρησμῶν ἐμέμνητο πειράζων τὸν κύριον, ἐπαινετὸς ἦν ἄρα τῆς τούτων μαθήσεως, ἀλλ' ἀπόκριτος καὶ ἀπόβλητος, ὅτι τὴν γνῶσιν ἔχων, τὴν πρᾶξιν ἀρνεῖται. εἰ τοίνυν μὴ κοῦφος φαίνεσθαι βούλει, καὶ ἐπὶ γλώττης μόνης ἔχων τὴν παίδευσιν, ἔργῳ ἐπίδειξον ταύτην. οὐδὲ γὰρ τῆς ἔξωθεν ὁπλοφορίας ὁ Γολιὰθ ἀπώνατό τι, τοῖς ἔσωθεν ἀσθενῶν βοηθήμασιν.

*Theophronio.* 180.

Non verborum enunciatio, verùm rerum adminiſtratio, diuinæ doctrinæ conſectatorem hominem reddit. Nam neque vetus ille rebellis, propterea quòd diuina oracula memoria tenebat, cùm Dominũ tentaret, ob eorum cognitionem laudem merebatur: verùm contrà abiiciendus ac deteſtandus erat, quòd cùm ſcientia præditus eſſet, actionẽ inficiaretur ac reſpueret. Quare niſi leuis haberi vis, vtpote in lingua ſola eruditionem ſitam habens, fac eam reipſa oſtendas. Nam nec Goliath ex armis externis quicquam commodi tulit: quoniam internorum auxiliorum imbecillitate laborabat.

*Matth. 4.* *Paruum eſt lingua duntaxat eruditum eſſe.* *1. Reg. 17.*

Ὠρίωνι μοναχῷ. ρπα.

Οὐκ ἀπονοίας ἐστὶν, ὦ φιλολογώτατε, ὁ κατὰ τῶν πταισάντων φόνος τοῦ σοφωτάτου Πέτρου, ἀλλὰ διδασκαλίας προγνωστικῆς, τὰ πολλὰ τῶν ἀνθρώπων προϊωμένης ἁμαρτήματα. τότε γὰρ ἀρξάμενοι, τὰ τοῦ εὐαγγελίου καταβάλλεσθαι σπέρματα· καὶ εὐθὺς παρανατείλαντα ἑωρακότες ζιζάνια, σοφῶς αὐτὰ παραχρῆμα ἐξέτιλλαν, ἵνα μὴ τῷ σίτῳ συναυξηθέντα, τῷ μέλλοντι πρὸς καῦσιν πυρὶ φυλαχθῇ. οὕτω καὶ Μωσῆς ὁ θεσπέσιος τὰ τοῦ νόμου ἐκ προοιμίων παραβαθέντα θεώμενος, εἰ καὶ ἐπὶ βραχεῖ ἁμαρτήματι καταλευσθῆναι ἐν σαββάτῳ ξυλολογοῦντα ἐκέλευσε, τοῦτο θεὸν γεγραφὼς ἀποφήνασθαι. ἐπὶ μικρῷ γὰρ καὶ μείζονι ἡ παράβασις κρίνεται. ὡς καὶ οἱ πρῶτοι τοῦ γένους προπάτορες ξύλου γεύσει τὸν πολυώδυνον κατεδικάσθησαν καὶ βίον καὶ θάνατον.

*Orioni Monacho.* 181.

Non crudelitatis atque amentiæ fuit, vir ſtudioſiſſime, quòd ſapientiſſimus Petrus, eos, qui peccauerant, morte affecit, verùm præſcientis doctrinæ, multa hominum peccata præſanantis. Nam cùm tunc Euangelij ſementem facere incepiſſent, ac ſtatim enata zizania conſpexiſſent, ſapienti conſilio ea confeſtim euulſerunt, ne vnà cum tritico aucta futuro igni ad exuſtionem ſeruarẽtur. Ad eundem enim modum diuinus quoque Moſes, legem ab initio ſtatim violatam perſpiciens, etſi ob exiguum peccatum, ſaxis tamẽ eum obrui iuſſit, qui die Sabbati ligna collegerat: Deum videlicet hanc ſententiam tuliſſe ſcribens. Siquidem legis tranſgreſſio, tam in paruo ac leui, quàm in magno atque atroci crimine iudicatur. Nam profectò primi quoque generis noſtri authores ob arboris fructum deguſtatum, acerbiſſima, & vita & morte mulctati ſunt.

*Act. 5.* *Cum Petrus Ananiã & Saphiram morte affecerit.* *Matt. 13.* *Num. 15.* *Legis tranſgreſſio in quolibet crimine vindicatur.* *Geneſ. 3.*

Ἡρακλείδῃ ἐπισκόπῳ. ρπβ.

Ὁ τὸν πολυτίμητον μαργαρίτην ζητήσας, καὶ πάντων αὐτῷ τῶν προσόντων ἀντισταθμίσας, ὁ νέος ἐστὶ τοῦ κυρίου λαός, τῆς πατρῴας καὶ οὐσίας, καὶ

*Heraclidi Epiſcopo.* 182.

Is qui ingentis pretij margaritam quæſiuit, eamque omnibus ſuis facultatibus emit, nouus eſt Domini populus, qui paternam & ſubſtantiam, & religionem con-

*Matt. 13.*